ὀπηδέω (cf. ὀπάζομαι), praes. ὀπηδεῖ, inf. ὀπηδεῖν h. Ap. Pyth. 352, imperf. ὀπήδει, comitor, sequor, τινί, de personis, Β 184 Εὐρυβάτης Ἰθακήσιος, ὅς οἱ ὀπήδει |, Sch. D. ἠκολούθει. Ω 368 γέρων δέ τοι οὗτος ὀπηδεῖ |. ἅμα τινί, cf. ἅμα ἕπεσθαι: η 165 181 (Ζεὺς) ὅς θ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ |. ι 271 (Ζεὺς) ὃς ξείνοισιν ἅμ' αἰδ. ὀπηδεῖ |. τ 398 ὁ δέ οἱ πρόφρων ἅμ' ὀπήδει |, is autem propitius illum comitabatur i. e. tutabatur. h. Ap. Pyth. 351 οὔτε τρυγηφόρος ἥδε γ' ἐπήρατος οὔτ' εὐλείμων |, ὥστ' ἀπό τ' εὖ ζώειν καὶ ἅμ' ἀνθρώποισιν ὀπηδεῖν, ut bene ex ea victum capere possimus simulque hominibus subministrare. Cf. tamen Frank. et Baum. h. Merc. 209 ὅστις ὁ παῖς ἅμα βουσὶν ἐυκραίρῃσιν ὀπήδει. 2) de rebus, Ε 216 ἀνεμώλια γάρ μοι (τόξα) ὀπηδεῖ |, führe ihn vergebens. Ρ 251 ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ |. θ 237 (ἀρετὴν) ἥ τοι ὀπηδεῖ |. h. 30, 12 ὄλβος δὲ πολὺς καὶ πλοῦτος ὀπηδεῖ |. Ap. lex. 121, 32 ὀπηδεῖ, ἀκολουθεῖ. Eust. 1593, 59.

ὀπηδός (cf. ὀπάζομαι), comes, begleitend, cum dat. h. Merc. 450 καὶ γὰρ ἐγὼ Μούσῃσιν Ὀλυμπιάδεσσιν ὀπηδός.

ὀπίζομαι (ὄπις), ὀπίζομαι ν 148. h. Merc. 382, imperf. ὀπίζεο Χ 332, ὠπίζετο ξ 283, ὠπίζετ' Σ 216, revereor, τί: Σ 216 μητρὸς γὰρ πυκινὴν ὠπίζετ' ἐφετμήν |, Sch. D. ἐπεστρέφετο, φροντίδα ἐποιεῖτο. Ap. lex. et Hesych. ἐπιστροφὴν ἐποιεῖτο. Similiter Eust. 1272, 18 (1391, 38. 1738, 5. 1760, 10) et E. M. p. 627, 628. Barnesio ἐποπίζετ' scribendum esse videbatur. ν 148 ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι ἠδ' ἀλεείνω, cf. Schol. B. Eust. αἰδοῦμαι, διὰ ὀπίδος καὶ ἐπιστροφῆς ἄγω. ξ 283 Διὸς δ' ὠπίζετο μῆνιν. In Odyss. tantum modo de deorum reverentia usurpatur. τινά: Χ 332 ἐμὲ δ' οὐδὲν ὀπίζεο νόσφιν ἐόντα |, Sch. D. ἐντροπὴν ἐποιοῦ. h. Merc. 382 καί σε φιλῶ καὶ τοῦτον ὀπίζομαι. Cf. La Roche H. St. 193. Doed. Gl. § 849.

οπιπτεύω vel **ὀπῑπεύω**, quod iam Bothium et Bekkerum et Dindorfium sequuti omnes exhibent, cf. Doed. Gl. § 838. La Roche suppl. ad Δ 371. Est ὀπιπεύω lectio Ven. et Apollonii, Eust. 483, 42. 679, 38. 1856, 1 autem et plerique veterum gramm., E. M. 627, 55. Hesych. 2, 679. E. Gud. 431, 1, ὀπιπτεύω amplexi sunt itemque Lob. El. 1, 334 (a rad. ὀπ: Curt. Et. p. 423. 664), praes. ὀπιπεύεις Δ 371, fut. ὀπιπεύσεις τ 67, aor. ὀπιπεύσας Η 243, circumspicio, schaue mich wiederholt um nach etw., Δ 371 τί δ' ὀπιπεύεις πολέμοιο γεφύρας |; τ 67 ὀπιπεύσεις δὲ γυναῖκας |, wirst begucken, begaffen. Absol. Η 243 λάθρῃ ὀπιπεύσας, Sch. D. περιβλεψάμενος. Cf. La Roche H. St. 101. De ῑ cf. παρθενοπῖπα. Ap. lex. 121, 30 ὀπιπεύεις, περιβλέπεις· ὀπιπεύεις δὲ γυναῖκας καὶ παρθενοπίπας ὁ παρθένους περιβλεπόμενος. Cf. Suid. Hesych.

ὄπις (a rad. ὀπ, ὄπωπα, proprie oculus, hinc: Strafaufsicht, cf. Doed. Gl. § 850. Nägelsb. H. Th. 335 Nitzsch. ad ε 146), ultio, Π 388 θεῶν ὄπιν οὐκ ἀλέγοντες |, deorum vindictam, Sch. D. τὴν ἐκ θεῶν ἐπιστροφὴν καὶ φροντίδα. ξ 82 οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσὶν οὐδ' ἐλεητύν. Cf. Schol. BQ. Vulg. Eust. ἡ εἰς τὸ μέλλον θεία ἐπιστροφή. Aliter Doed. l. c. § 88

καὶ μὲν τοῖς ὄπιδος κρατερὸν δέος ἐν φρεσὶ πίπτει. ξ 215 οὐδ' ὄπιδα τρομέουσι θεῶν. φ 28 οὐδὲ θεῶν ὄπιν ᾐδέσατ'. Semel tantum legitur in Il., bis θεῶν non addito. De duplici accus. forma Curt. Et. p. 623. Ap. lex. 121, 33 ὄπιδα, ἐπιστροφὴν καὶ ἐντροπήν. Eust. 938, 41. 1066, 9. 1272, 19. 1391, 38. 1528, 50. 1760, 11. Hesych.

ὄπισθε, ante conson. **ὄπισθεν, ὄπιθε** Π 791 et **ὄπιθεν** (ὄπιθεν primam propriamque fuisse formam et ex ea ὄπισθεν ortam censet Lobeck. El. 1, 334), a tergo, hinten, von hinten, hinterwärts, Λ 197 στῆ δ' ὄπιθεν, Nägelsb. sie trat von hinten her. Β 542 Ἄβαντες . . ὄπιθεν κομόωντες |, Sch. D. τὰ ὀπίσω μέρη τῆς κεφαλῆς κομῶντες ἀνδρείας χάριν, ἴδιον δὲ τοῦτο τῆς τῶν Εὐβοέων κουρᾶς τὰς ὄπισθεν τρίχας βαθείας ἔχειν. Cf. Eust. Ε 595 φοίτα δ' ἄλλοτε μὲν πρόσθ' Ἕκτορος, ἄλλοτ' ὄπισθεν. Ζ 181 πρόσθε λέων, ὄπιθεν δὲ δράκων. Λ 397 ἔστη πρόσθ', ὁ δ' ὄπισθε καθεζόμενος etc. Λ 545 ὄπιθεν δὲ σάκος βάλεν ἑπταβόειον |, in tergum reiecit. Ν 83 τόφρα δὲ τοὺς ὄπιθεν Γαιήοχος ὦρσεν Ἀχαιούς, extremos. Ν 289 οὐκ ἂν ἐν αὐχέν' ὄπισθε πέσοι βέλος. 721 οἱ δ' ὄπιθεν βάλλοντες ἐλάνθανον. Ν 834 Ρ 723 ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν |. Ξ 14 Ο 7 τοὺς δὲ κλονέοντας ὄπισθεν |. Ο 341 Δηίοχον δὲ Πάρις βάλε νείατον ὦμον ὄπισθεν |. 451 αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός. 541 βάλε δ' ὦμον ὄπισθεν |. 694 τὸν δὲ Ζεὺς ὦσεν ὄπισθε |. Π 115 πλῆξ' ἄορι μεγ. αἰχμῆς παρὰ καυλὸν ὄπισθεν. Π 791 στῆ δ' ὄπιθε. 806 ὄπιθεν δὲ μετάφρ. ὀξέι δουρὶ | . . βάλε. Ρ 718 αὐτὰρ ὄπισθε | νῶι μαχησόμεθα. Ρ 746 αὐτὰρ ὄπισθεν | Αἴαντ' ἰσχανέτην. Σ 548 ἡ δὲ μελαίνετ' ὄπισθεν. Σ 554 αὐτὰρ ὄπισθε | παῖδες δραγμεύοντες. Τ 397 ὄπιθεν δὲ κορυσσάμενος βῆ Ἀχ. | Φ 129 ἐγὼ δ' ὄπιθεν κεραΐζων |. Φ 256 ὁ δ' ὄπισθε ῥέων ἕπετο μεγ. ὀρυμαγδῷ |. Χ 157 ὁ δ' ὄπισθε διώκων |. Ψ 136 ὄπιθεν δὲ κάρη ἔχε δῖος Ἀχ. | Ψ 726 κόψ' ὄπιθεν κώληπα τυχών. 763 αὐτὰρ ὄπισθεν | ἴχνια τύπτε πόδεσσιν. Ω 326 αὐτὰρ ὄπισθεν | ἵπποι. δ 357 ἢ λιγὺς οὖρος ἐπιπνείῃσιν ὄπισθεν |. ε 167 ο 34 πέμψω δέ τοι οὖρον ὄπισθεν |. ζ 307 δμωαὶ δέ οἱ εἵατ' ὄπισθεν |. κ 209 κατὰ δ' ἄμμε λίπον γοόωντας ὄπισθεν |. λ 72 μή μ' ἄκλαυτον ἄθαπτον ἰὼν ὄπιθεν καταλείπειν. λ 527 οἱ δέ τ' ὄπισθεν | κόπτοντες δούρεσσι μετάφρενον ἠδὲ καὶ ὤμους. ν 84 κῦμα δ' ὄπισθεν | πορφ. μέγα θῦε. ο 88 οὐ γὰρ ὄπισθεν | οὖρον ἰὼν κατέλειπον. τ 436 αὐτὰρ ὄπισθεν | (ἤισαν) υἱέες Αὐτολύκου. χ 174 σανίδας δ' ἐκ δῆσαι ὄπισθεν |. h. Merc. 77 ἀντία ποιήσας ὁπλάς, τὰς πρόσθεν ὄπισθεν |, τὰς δ' ὄπιθεν πρόσθεν. h. Cer. 181 ἡ δ' ἄρ' ὄπισθε..στεῖχε. ὄπισθε μένειν coniungitur Ι 333 ὄπισθε μένων παρὰ νηυσὶ θοῇσι |. ρ 201 ὄπισθε μένοντες. οἱ ὄπιθεν relicti: λ 66 νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, Sch. Vulg. τῶν καταλελειμμένων οἴκοι. τὰ ὄπισθεν tergum: Λ 613 ἤ τοι μὲν τά γ' ὄπισθε Μαχάονι πάντα ἔοικεν. Praepositio cum genet.: Ν 536 Ξ 430 οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο | ἕστασαν. Ρ 468 στῆ δ' ὄπιθεν δίφροιο. Cf. Ε 595. Postponitur Ω 15 Ἕκτορα δ' ἕλκεσθαι δησάσκετο δίφρου ὄπισθεν. 2) De tempore: postea, hinterdrein, hernach, Δ 362 ταῦτα δ' ὄπισθεν ἀρεσσόμεθ', Sch. D. ἐν τῷ μεταταῦτα χρόνῳ. Idem Ζ 526, q. l. Eust. ὅτι ὁ μετὰ ἔχθραν σπενδόμενος εἴποι ἂν τὸ ἀλλ' - ἀρεσσ., ἤγουν ὕστερον φιλιωσόμεθα etc. Μ 34 ὣς ἄρ' ἔμελλον ὄπισθε Ποσ. καὶ Ἀπ. | θησέμεναι. β 270 278 Τηλέμαχ', οὐδ' ὄπιθεν κακὸς ἔσσεαι. ξ 393 αὐτὰρ ὄπισθεν | μάρτυροι ἀμφοτέροισι θεοί. σ 168 οἵ τ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσιν. χ 55 ἀτὰρ ἄμμες ὄπισθεν ἀρεσσάμενοι κατὰ δῆμον etc. ψ 249 ἀλλ' ἔτ' ὄπισθεν ἀμέτρητος πόνος ἔσται |. ψ 261 ἐπεὶ καὶ ὄπισθεν, ὀίω |, πεύσομαι. In posterum: Ι 515 εἰ μὲν γὰρ μὴ δῶρα φέροι, τὰ δ' ὄπισθ' ὀνομάζοι. Ι 519 νῦν δ' ἅμα τ' αὐτίκα πολλὰ διδοῖ, τὰ δ' ὄπισθεν ὑπέστη. Cf. Eust. 84, 34. 282, 10. 1066, 9. 1673, 24. 1923, 30.

ὀπίστατος (ὄπισθε), postremus, Θ 342 Λ 178 αἰὲν ἀποκτείνων τὸν ὀπίστατον. Hesychii τὸν ὀπισθότατον ex h. l. factum censuit Bentl. Eust. 716, 42. 837, 3. 838, 64. Suid. Hesych. E. M.

ὀπίσω et **ὀπίσσω** (Christio 25 videtur cum sanscr. paçkât cohaerere, aliis cum ἀπό), de loco: retro, rückwärts, zurück, Γ 218 σκῆπτρον δ' οὔτ' ὀπίσω οὔτε προπρηνὲς ἐνώμα. Γ 262 311 Τ 394 κατὰ δ' ἡνία τεῖνεν ὀπίσσω |. Ε 443 Τυδ. δ' ἀνεχάζετο τυτθὸν ὀπίσσω |. Cf. Schol. BL. Ε 599 ἂν δ' ἔδραμ' ὀπίσσω |. 605 αἰὲν ὀπίσσω | εἴκετε. 701 ἀλλ' αἰὲν ὀπίσσω | χάζονθ'. Μ 205 Θ 375 ἰδνωθεὶς ὀπίσω. Μ 272 μή τις ὀπίσσω | τετράφθω ποτὶ νῆας. Ν 193 ὁ δὲ χάσσατ' ὀπίσσω |. Ο 304 αὐτὰρ ὀπίσσω | ἡ πληθὺς ἐπὶ νῆας Ἀχ. ἀπονέοντο. Ο 735 ἠέ τινάς φαμεν εἶναι ἀοσσητῆρας ὀπίσσω. Π 710 Πάτρ. δ' ἀνεχάζετο πολλὸν ὀπίσσω |. Ρ 752 ὣς αἰεὶ Αἴαντε μάχην ἀνέεργον ὀπίσσω | Τρώων. Σ 160 ὀπίσω δ' οὐ χάζετο πάμπαν |. Υ 119 ἡμεῖς πέρ μιν ἀποτρωπῶμεν ὀπίσσω | αὐτόθεν. Φ 30 δῆσε δ' ὀπίσσω χεῖρας. Ψ 433 αἱ δ' ἠρώησαν ὀπίσσω | Ἀτρεΐδεω. η 326 καὶ ἀπήνυσαν οἴκαδ' ὀπίσσω |. ι 149 ὅδε τοι πάλιν εἰσὶν ὀπίσσω |. μ 410 ἱστὸς δ' ὀπίσω πέσεν. π 150 ἀλλὰ σύ γ' ἀγγείλας ὀπίσω κίε. ψ 119 ᾧ μὴ πολλοὶ ἔωσιν ἀοσσητῆρες ὀπίσσω. ὀπίσσω λείπω, relinquo, legitur Χ 137 ὀπίσω δὲ πύλας λίπε. λ 279 τῷ δ' ἄλγεα κάλλιπ' ὀπίσσω |. 2) de tempore, postmodo, hinterdrein, hernach, in Zukunft, Γ 160 μηδ' ἡμῖν τεκέεσσί τ' ὀπίσσω πῆμα λίποιτο, in posterum. Γ 411 Τρωαὶ δέ μ' ὀπίσσω | πᾶσαι μωμήσονται, Sch. D. εἰς τὸν μετὰ ταῦτα χρόνον. Δ 37 μὴ τοῦτό γε νεῖκος ὀπίσσω | σοὶ καὶ ἐμοὶ μέγ' ἔρισμα μετ' ἀμφοτέροισι γένηται. Δ 270 τοῖσιν δ' αὖ θάνατος καὶ κήδε' ὀπίσσω | ἔσσετ', Sch. D. μετὰ ταῦτα. Opponitur νῦν: Ζ 352 τούτῳ δ' οὔτ' ἄρ νῦν φρένες ἔμπεδοι οὔτ' ἄρ' ὀπίσσω | ἔσσονται, cf. Sch. LV. Ζ 357 τούτῳ δ' οὔτ' ἄρα νῦν φρένες ἔμπεδοι, ὡς καὶ ὀπίσσω | ἀνθρώποισι πελώμεθ' ἀοίδιμοι ἐσσομένοισιν. Ζ 450 ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω |. Ι 507 οἱ δ' ἐξακέονται ὀπίσσω |. Ο 497 ἀλλ' ἄλοχός τε σόη καὶ παῖδες ὀπίσσω |. Χ 19 ἐπεὶ οὔ τι τίσιν γ' ἔδδεισας ὀπίσσω |, Sch. D. ὕστερον, χρονικῶς. Χ 488 αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε' ὀπίσσω | ἔσσετ'. α 222 οὐ μέν τοι γενεήν γε θεοὶ νώνυμνον ὀπ. | θῆκαν. α 240 ξ 370 ω 33 ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω |. β 179 μή πού τι κακὸν πάσχωμεν ὀπίσσω |. β 367 οἱ δέ τοι αὐτίκ' ἰόντι κακὰ φράσσονται ὀπίσσω |. ζ 273 μή τις ὀπ. | μωμεύῃ. ι 511 ὅς μοι ἔφη τάδε πάντα τελευτήσεσθαι ὀπίσσω. λ 433 καὶ ἐσσομένοισιν ὀπίσσω | θηλ. γυναιξί. Opponitur προπάροιθε λ 482 σεῖο δ', Ἀχιλλεῦ |, οὔ τις ἀνὴρ

προπάροιθε μακάρτατος ουτ' ἄρ' ὀπίσσω. μ 437 ὄφρ' ἐξεμέσειεν ὀπίσσω | ἱστὸν καὶ τρόπιν αὖτις, hernach wieder. ξ 232 πολλὰ δ' ὀπίσσω | λάγχανον. ρ 188 μή μοι ὀπίσσω | νεικείῃ. σ 132 κακὸν πείσεσθαι ὀπίσσω |. τ 330 τῷ δὲ καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω | ζωῷ. φ 137 φίλοισι δὲ κήδε' ὀπίσσω | πᾶσι . . τετεύχαται. ἐς ὀπίσσω bis legitur: σ 122 υ 199 γένοιτό τοι ἔς περ ὀπίσσω | ὄλβος. Ad dictionem ἅμα πρόσσω καὶ ὀπίσσω λεύσσειν, νοεῖν, ὁρᾶν quod attinet, videntur talia proprie dicta esse de eo qui prospicit et retrospicit, quae est descriptio viri prudentis; alii, velut Ameis. ad ω 452, censent de tempore esse cogitandum: circumspicere simul praesentia et futura, die Vergangenheit und die Zukunft verstehen. Α 343 οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω, Sch. D. τὸ παρὸν καὶ τὸ μέλλον. τουτέστι, οὐκ οἶδε προσκοπῆσαι καὶ τὴν ἀρχὴν καὶ τὴν ἀπόβασιν τοῦ πράγματος. Eust. ἐπεὶ οὐκ οἶδεν ὅτι, ὥσπερ τὰ πρὸ τούτου δι' ἐμοῦ πολεμαρχοῦντος ἠνύητο, οὕτω καὶ τὰ ἑσύστερον etc. Γ 109 οἷς δ' ὁ γέρων μετέῃσιν, ἅμα πρόσσω καὶ ὀπίσσω | λεύσσει. Σ 250 ω 452 ὁ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω |. Forma ὀπίσσω in medio versu tantummodo Φ 30 legitur; in hymnis nec ὀπίσω nec ὀπίσσω.

Ὀπίτης, Graecus, quem Hector interficit Λ 301 Ὀπίτην | . . τοὺς ἄρ' ὅ γ' ἡγεμόνας Δαναῶν ἕλεν.

ὁπλέω = ὁπλίζω, ζ 72 οἱ μὲν ἄρ' ἐκτὸς ἅμαξαν ἐΰτροχον ἡμιονείην | ὤπλεον, stellten fertig, q. l. La Roche ὅπλεον edidit. Schol. B. ad Τ 172: ὅπλεον ἀντὶ τοῦ ἡτοίμαζον.

ὁπλή, ungula, equorum, Λ 536 Υ 501 (ἄντυγες) ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον, Sch. D. ἃς αἱ ἀποπίπτουσαι τῶν ἱππείων ὀνύχων ῥανίδες ἔβαλλον. ὁπλὴ γὰρ ἡ τοῦ ἵππου ὄνυξ. h. Merc. 77 ἀντία ποιήσας ὁπλάς, τὰς πρόσθεν ὄπισθεν etc. Cf. Hesych.

ὁπλίζω (ὅπλον), act. aor. ὥπλισσε Λ 641, imperat. ὅπλισσον β 289, inf. ὁπλίσαι Ω 190, Med. praes. ὁπλίζονται ρ 288, ὁπλιζώμεθα ω 495, impf. ὁπλίζετο ξ 526 (Bekk. ὡπλίζετο), ὁπλίζοντο (Bekk. ὡπλίζοντο), aor. ὡπλίσσατο ὡπλίσαθ', ὁπλισάμεσθ', coni. corrept. ὁπλισόμεσθα (Bekk. ὡπλ.), aor. pass. 3. pers. plur. ὅπλισθεν ψ 143 (Bekk. ὥπλ.), act. paro, instruo, cibum: Λ 641 ἐπεί ῥ' ὥπλισσε κυκειῶ |. β 289 ὅπλισσόν τ' ἤια, cf. Schol. Vulg., currum: Ω 190 ἅμαξαν . . ὁπλίσαι, cf. Schol. BM. naves (pass.): ρ 288 τῆς ἕνεκεν καὶ νῆες ἐΰζυγοι ὁπλίζονται, armantur. 2) Med. et Pass. instruo me: ξ 526 ἀλλ' ὅ γ' ἄρ' (subulcus) ἔξω ἰὼν ὁπλίζετο, sc. armis, quorum in seqq. fit mentio. Additur inf. Η 417 τοὶ δ' ὁπλίζοντο μάλ' ὦκα | ἀμφότερον, νέκυάς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην. orno me: ψ 143 ὅπλισθεν δὲ γυναῖκες, Schol. Q. ἡτοιμάσθησαν. Saepius: armo me, Θ 55 Τρῶες δ' αὖθ' ἑτέρωθεν ἀνὰ πτόλιν ὁπλίζοντο. ω 495 ἀλλ' ὁπλιζώμεθα θᾶσσον |. 3) Med. cum accusativo obiecti, mihi paro: Λ 86 ἦμος δὲ δρυτόμος περ ἀνὴρ ὡπλίσσατο δεῖπνον (Zenod. δόρπον). Ante Barnesium legebatur ὡπλίσατο. β 20 πύματον δ' ὡπλίσσατο δόρπον |. ι 291 344 ὡπλίσσατο δόρπον |. ι 311 κ 116 ὡπλίσσατο δεῖπνον |. δ 429 574 δόρπον δ' ὁπλισάμεσθ'. μ 292 δόρπον δ' ὁπλισόμεσθα. π 453 οἱ δ' ἄρα δόρπον ἐπισταδὸν ὁπλίζοντο |. equos meos adiungo: Ψ 301 Ἀντίλοχος δὲ τέταρτος ἐΰτριχας ὡπλίσαθ' ἵππους. Ψ 351 Μηριόνης δ' ἄρα πέμπτος ἐΰτριχας ὡπλίσαθ' ἵππους.— Aristarchi lectio est ὁπλίζοντο etc., cf. Schol. A. ad Θ 55, et Spitzner, qui cum Bekkero, La Rochio, aliis ὡπλ. tutatus est. Eust. 420, 22. 478, 1. 688, 36. 1445, 35. 1921, 4. 1941, 64.

ὅπλομαι = ὁπλίζομαι, paro mihi, Τ 171 Ψ 158 καὶ δεῖπνον ἄνωχθι | ὅπλεσθαι. Schol. B. ad Τ 172 ait verbum contractum esse ex ὁπλέεσθαι, nam fuisse v. ὁπλέω patere ex ὥπλεον ἀντὶ τοῦ ἑτοίμαζον. Cf. Eust. 1178, 35.

ὅπλον (a rad. ἑπ = σεπ, cf. Buttmann. Lex. 2, 216. Curt. Et. p. 453. Christ. p. 227, quod minus probabile est, a sanscr. vap texo ortum esse vocabulum docuit, cf. Savelsb. Dig. 44, alii comparant goth. vêpna, germ. wâfan), in Iliade tantummodo ὅπλα, instrumentum, a) opificis ferrarei, Schmiedegeräth, Σ 409 ὄφρ' ἂν ἐγὼ φύσας ἀποθείομαι ὅπλα τε πάντα, cf. Schol. B. Σ 412 φύσας μέν ῥ' ἀπάνευθε τίθει πυρὸς ὅπλα τε πάντα, cf. Schol. D. γ 433 ὅπλ' ἐν χερσὶν ἔχων χαλκήια, πείρατα τέχνης. b) navis, rudens, ξ 345 ἔνθ' ἐμὲ μὲν κατέδησαν . . | ὅπλῳ ἐϋστρεφέι στερεῶς, Sch. D. σχοινίῳ. φ 390 κεῖτο δ' ὑπ' αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης | βύβλινον, Sch. Vulg. Q. σχοινίον. Cf. Grashof. Schiff 25. Plur. Takelage, arma, armamenta, β 389 πάντα δ' ἐν αὐτῇ | ὅπλ' ἐτίθει, τά τε νῆες ἐΰσσελμοι φορέουσιν. β 423 ο 288 ὅπλων ἅπτεσθαι, cf. Schol. Q. ad β 423 430 δησάμενοι δ' ἄρα ὅπλα θοὴν ἀνὰ νῆα μέλαιναν. ζ 268 ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσιν |, πείσματα καὶ σπεῖρα. κ 404 424 κτήματα δ' ἐν σπήεσσι πελάσσετε ὅπλα τε πάντα. λ 9 μ 151 ἡμεῖς δ' ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα. μ 410 ἱστὸς δ' ὀπίσω πέσεν, ὅπλα τε πάντα | εἰς ἄντλον κατέχυνθ'. h. Ap. Pyth. 227 οὐδ' οἵ γ' ὅπλ' ἔλυον κοίλην ἀνὰ νῆα μέλ. 279 οὐδὲ καθ' ὅπλα μελαίνης νηὸς ἔθεσθε; h. 7, 27 σύμπανθ' ὅπλα λαβών. 7, 33 ἀμφὶ δ' ἄρ' ὅπλα | καττάννυσαν. c) arma militis, Κ 254 272 ὡς εἰπόνθ' ὅπλοισιν ἔνι δεινοῖσιν ἐδύτην. Σ 614 αὐτὰρ ἐπεὶ πάνθ' ὅπλα κάμε κλυτὸς ἀμφιγυήεις. Τ 21 τὰ μὲν ὅπλα θεὸς πόρεν, cf. Schol. B. Ap. lex. 122, 1 τὰ πολεμικὰ λέγει καὶ τὰ τῆς νηὸς σχοινία καὶ τὰ χαλκευτικὰ ἐργαλεῖα. Cf. Eust. 477, 46. 832, 63. 1761, 9.

ὁπλότερος, ὁπλότατος (vox dubiae originis, quam Buttm. Lex. 2, 216 not. ab ἕπομαι derivavit, quem sequuti sunt Schweizer. ap. Kuhn. 2, 66, Sonne ib. 10, 358. Obloquitur Curt. Et. p. 453, qui ibi et ap. Kuhn. 3, 405 sq. cohaerere vocem cum ὀπός sucus docet. Similiter Doed. Gl. § 345, quem sequitur Ameis. ad γ 465, putat ὁπλότερος syncopen esse formae ἁπαλώτερος. Vulgo de ὅλον, ὅπλεσθαι cogitant, vid. Autenr. ad Γ 108, cf. germ. rüstig a verbo rüsten ortum), validior, iunior, minor natu, Β 707 ὁπλότερος γενεῇ, Sch. D. νεώτερος. Γ 108 αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται. Sch. BL. νεωτέρων etc. Δ 324 οἵ περ ἐμεῖο | ὁπλότεροι γεγάασι. Sch. D. νεώτεροι, ὅπλα φέρειν δυνάμενοι. Eust. 477, 45 ὁπλότεροι οὐ μόνον οἱ νεώτεροι, ἀλλὰ μάλιστα οἱ μάχιμοι καὶ ὅπλα αἴρειν δυνάμενοι, ἔτι δὲ καὶ οἱ ἁπλῶς ἐργατικοὶ καὶ ἐνεργεῖς· ὅπλα γὰρ πάσης τέχνης τὰ ἐργαλεῖα καὶ ὁπλίζεσθαι τὸ εἰς ἔργον ἑτοιμάζεσθαι· διὸ καὶ παρακατιὼν φησι· δαῖτα ἐφοπλίζοιμεν. Ι 58 ὁπλότατος γενεῆφιν. Schol. A.: γράφεται ὁπλότερος, cf. Eust. 735, 11, quam lectionem iure recentiores repudiant Spitznerum sequuti. Ξ 267 275 Χαρίτων μίαν ὁπλοτεράων,

Sch. D. νεωτέρων. Sch. A. annotat nosse Homerum πρεσβυτέρας καὶ νεωτέρας Χάριτας, Suida assentiente quamquam is docet dici etiam absolute ὁπλότερος et significare: adolescens. γ 465 Νέστορος ὁπλοτάτη θυγάτηρ Νηλ. η 58 ὁπλοτάτη θυγ. μεγαλήτορος Εὐρυμέδοντος. λ 283 ὁπλοτάτην κούρην Ἀμφίονος. ο 364 τὴν ὁπλοτάτην τέκε παίδων |. τ 184 ὁπλότερος γενεῇ. φ 370 μή σε καὶ ὁπλότερός περ ἐὼν ἀγρόνδε δίωμαι. h. Merc. 386 σὺ δ' ὁπλοτέροισιν ἄρηγε |. h. Ven. 22 ἣν πρώτην τέκετο Κρόνος ἀγκ. |, αὖτις ὁπλοτάτην (videtur tamen spurius esse v. 23). h. Cer. 116 τηλίκαι, ὡς σύ περ ὧδε, καὶ ὁπλότεραι γεγάασιν. ep. 4, 4 λαοὶ Φρίκωνος, μάργων ἐπιβήτορες ἵππων |, ὁπλότεροι. Ap. lex. 121, 35 ὁ κατὰ τὴν σύγκρισιν νεώτερος. E. M. E. Gud. Hesych. Eust. 86, 28. 389, 37. 803, 5. 984, 23. 1477, 13.

Ὀπόεις, urbs Locrorum, Patrocli patria, cf. Leake North. Gr. 2, 175. Bursian. Ge. v. Gr. 1, 190. Forbiger Handb. d. alt. Ge. 3, 906. Buchholz Real. 1, 156, B 531 οἳ Κῦνόν τ' ἐνέμοντ' Ὀπόεντά τε. Σ 326 φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν (Patroclum) ἀπάξειν. Cf. Strab. 9, 4, 2. Ψ 85 εὖτέ με (Patroclum) τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος | ἤγαγεν. Eust. 277, 12. 14.

ὁποῖος et **ὁπποῖος** (proprie ὀκϝοῖος. ὁποῖος tantummodo in Odyss. invenitur), qualis, in quaestionibus directis et indirectis: α 171 ξ 188 ὁπποίης δ' ἐπὶ νηὸς ἀφίκεο; τ 218 εἰπέ μοι, ὁπποῖ' ἄσσα περὶ χροῒ εἵματα ἕστο. 2) relat. Υ 250 ὁπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις. ρ 421 τ 77 τοίῳ, ὁποῖος ἔοι.

ὀπός (lat. sucus, cf. Curt. Et. p. 457), coagulum, Lab, E 902 ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐπειγόμενος συνέπηξεν | ὑγρὸν ἐόν, Sch. D. ὀπός, τὸ γαλακτῶδες τῆς συκῆς. Cf. Sch. B. Ap. lex. 122, 3 ὀπός, τὸ τῶν δένδρων δάκρυον. ὅθεν καὶ σμύρνα καὶ λίβανος οὕτως λέγεται.. εἰδικῶς μέντοι Ὅμ. οἶδεν ὀπόν τινα λεγόμενον, ὡς ὅταν λέγει· ὡς δ' ὅτ' ὀπὸς etc. E. M. E. Gud. Suid. Hes. Eust. 619, 40.

ὁπόσος, ὁππόσσος, ὁπόσσος (proprie ὀκϝόσος), quantus, Ω 7 ἠδ' ὁπόσα τολύπευσε σὺν αὐτῷ, quantum. Ψ 237 Ω 791 πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ' αἴθοπι οἴνῳ | πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος, quatenus. Eust. 1297,49 sqq. τὸ δὲ ὁπόσον ἐσχημάτισται κατ' ἔλλειψιν τοῦ τόπου ἢ τοῦ μέρους ἢ κατά τινα τοιαύτην λέξιν. γέγονε δὲ ὁ σχηματισμὸς ἀναγκαίως. οὐ γὰρ ἦν χρήσιμον εἰς μέτρον εἰπεῖν· ὁπόσην ἐπέσχε. Bothio scribendum videbatur πᾶσαν, ὅσσον. ξ 138 οὐ γὰρ ἔτ' ἄλλον | ἤπιον ὧδε ἄνακτα κιχήσομαι, ὁππόσ' ἐπέλθω, quantum permeavero, Ameis.: wohin ich auch komme, wie weit ich auch suche. Plerique h. l. ὁπόσσε intelligendum esse censent. 2) quot, quotquot, ξ 47 εἴπῃς, ὁππόθεν ἐσσὶ καὶ ὁππόσα κήδε' ἀνέτλης. χ 220 κτήμαθ', ὁπόσσα τοί ἐστι. h. Cer. 365 δεσπόσσεις πάντων, ὁπόσα ζώει τε καὶ ἕρπει. h. 30, 2 πάνθ', ὁπόσ' ἐστίν. h. Merc. 339 ἀνδρῶν, ὁπόσοι λησίμβροτοί εἰσ' ἐπὶ γαίῃ |. h. Ap. Pyth. 31 vulgo sane legebatur ὀππόσ' ἀνωόμενος, quod recentiores omnes iure repudiarunt. In cod. Mosc. legitur ὁππόταν ἱέμενος, Martinus, quem Matthiaeus sequitur, ὥς ποτε μνωόμενος, Herm. ὁππότ' ἀγαιόμενος, Voelckerus ὁππότ' ἀναιρόμενος, ὅππως μνωόμενος, quem Baum. sequitur, Wolfius coniecerunt.

ὁπότε et **ὁππότε** (ortum ex ὀπϝότε i. e. ὀκϝότε, cf. Curt. Et. p. 460) I) adverbium interrogativum: quando, quo tempore, in quaestionibus indirectis, plerumque antecedentibus verbis μένω, δέχομαι. Additur a) indicativus, si in enunciato primario tempus prim. legitur: δ 632 Ἀντίνο', ἦ ῥά τι ἴδμεν . . | ὁππότε Τηλ. νεῖτ' ἐκ Πύλου ἦμ. Idem additur antecedente tempore historico υ 385 πατέρα προσεδέρκετο δέγμενος αἰεὶ | ὁππότε δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει, q. l. ἐφήσει optativi esse formam pro ἐφήσειε censet Ameis. b) optativus antecedente praeterito: B 794 (ὃς Τρώων σκοπὸς ἷζε) δέγμενος ὁππότε ναῦφιν ἐφορμηθεῖεν Ἀχαιοί, exspectans, dum. Δ 333 οἱ δὲ μένοντες | ἕστασαν ὁππότε πύργος Ἀχαιῶν ἄλλος ἐπελθὼν | Τρώων ὁρμήσειε. Ι 190 Πάτροκλος δέ οἱ οἶος ἐναντίος ἧστο σιωπῇ |, δέγμενος Αἰακίδην ὁπότε λήξειεν ἀείδων. Σ 523 τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύω σκοποὶ εἵατο λαῶν |, δέγμενοι ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς. Mirum est, quod Η 415 legitur in plerisque codd. ἕατ' . . πάντες ὁμηγερέες, ποτιδέγμενοι, ὁππότ' ἂν ἔλθοι | Ἰδαῖος, q. l. recte Spitzner. et recentissimi edd. Ven. Vind. 49 alios libros mss. sequuti ἄρ' pro ἂν exhibent. II) coniunctio temporalis, cui haud raro hypothetica inest notio, quom, 1) cum indic. wann, σ 408, ἀλλ' εὖ δαισάμενοι κατακείετε οἴκαδ' ἰόντες |, ὁππότε θυμὸς ἄνωγε, Am.: sobald es das Gemüth wirklich befiehlt. h. Cer. 401 ὁππότε δ' ἄνθεσι γαῖ' . . | παντοδαποῖς θάλλει, τόθ' ὑπὸ ζόφου ἠερ. | αὖτις ἄνει etc. Saepius de rebus praeteritis: als, da, Γ 173 ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακός, ὁππότε δεῦρο | υἱέι σῷ ἑπόμην. Α 398 ὅτ' ἔφησθα . . ἀεικέα λοιγὸν ἀμῦναι | ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι. Ξ 315 οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς | θυμὸν ἐνὶ στήθ. . ἐδάμασσεν |, οὐδ' ὁπότ' ἠρασάμην . . (319) οὐδ' ὅτε . . (327) οὐδ' ὁπότε Λητοῦς etc. δ 729 οὐδ' ὑμεῖς περ ἐνὶ φρεσὶ θέσθε ἑκάστη | ἐκ λεχέων μ' ἀνεγεῖραι, ἐπιστάμεναι σάφα θυμῷ |, ὁππότ' ἐκεῖνος ἔβη κοίλην ἐπὶ νῆα μέλ. ε 125 ὡς δ' ὁπότ' Ἰασίωνι ἐυπλ. Δημήτηρ | ᾧ θυμῷ εἴξασα μίγη. ψ 345 ὁππότε δή ῥ' Ὀδυσῆα ἐέλπετο ὃν κατὰ θυμὸν | εὐνῆς ἧς ἀλόχου ταρπήμεναι . . | αὐτίκ' . . ὦρσεν. Omittitur verbum Θ 229 πῇ ἔβαν εὐχωλαί, ὅτε δὴ φάμεν εἶναι ἄριστοι |, ἃς ὁπότ' ἐν Λήμνῳ κενεαυχέες ἠγοράασθε, q. l. Scholl. ὁπότε interpretantur ποτέ, cf. Eust. 710, 16, recentiores aut ἦμεν supplent (ὁπότ' ἐν Λ. ἦμεν), cf. Schol. ABLV., aut ὁπότε cum ἠγοράασθε coniungentes supplent (ἃς) ἐλέγετε, cf. Faesi. ad l. Additur κέ futuro π 282 ὁππότε κεν πολύβουλος ἐνὶ φρεσὶ θήσει Ἀθήνη |, νεύσω μέν τοι ἐγὼ κεφαλῇ, q. l. Ameis. θήσει coniunctivum aoristi esse censet; Bekkerus, cf. Classen. J. f. Ph. 1859, 304, θῇσιν exhibet. — Hinc fit ut in comparationibus usurpetur, quae ad certam quandam rem ante actam spectant, ὡς ὁπότε ut (tum) quum, wie (damals) als, Λ 670 εἴθ' ὡς ἡβώοιμι . . | ὡς ὁπότ' Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη etc. Ψ 629 εἴθ' ὡς ἡβ. . . | ὡς ὁπότε κρείοντ' Ἀμαρυγκέα θάπτον Ἐπειοί etc. Semel etiam in comparatione legitur, quae ad certam rem ante actam non spectat, coniunctivi loco: Λ 492 ὡς δ' ὁπότε πλήθων ποταμὸς πεδίονδε κάτεισιν etc. 2) cum coniunctivo (= ὁπόταν) a) de rebus futuris, quas eventuras esse veri simile est: Α 163 οὐ μὲν σοί ποτε ἶσον

ἔχω γέρας, ὁππότ' Ἀχαιοὶ | Τρώων ἐκπέρσωσ' εὖ ναιόμενον πτολίεθρον, quamquam h. l. significari potest: quotiens, si cum schol. A. non de Troia, sed de oppido quolibet Troico cogitamus Cf. Faes., Am., Nägelsb., Autenr. *Δ* 351 ὁππότ' Ἀχαιοὶ | Τρωσὶν ἐφ' ἱππ. ἐγείρομεν (= ἐγείρωμεν) ὀξὺν Ἄρηα |, ὄψεαι etc. *Π* 244 ἢ οἱ τότε χεῖρες ἄαπτοι | μαίνονθ', ὁππότ' ἐγώ περ ἴω μετὰ μῶλον Ἄρηος. *Ν* 817 σοὶ δ' αὐτῷ φημὶ σχεδὸν ἔμμεναι, ὁππότε φεύγων | ἀρήσῃ Διὶ πατρὶ etc. *Φ* 110 ἀλλ' ἔπι τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιὴ | ἔσσεται, εἰ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ |, ὁππότε τις καὶ ἐμεῖο Ἄρει ἐκ θυμὸν ἕληται etc. *Σ* 115 κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ | Ζεὺς ἐθέλῃ etc. *π* 267 οὐ μέν τοι κείνω γε πολὺν χρόνον ἀμφὶς ἔσεσθον | φυλόπιδος κρατερῆς, ὁπότε μνηστῆρσι καὶ ἡμῖν | ἐν μεγ. ἐμοῖσι μένος κρίνηται Ἄρηος. *ψ* 257 εὐνὴ μὲν δὴ σοί γε τότ' ἔσσεται ὁππότε θυμῷ | σῷ ἐθέλῃς. b) si de certo tempore non agitur, *Ο* 359 ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ | γίγνεται, ὁππότ' ἀνὴρ σθένεος πειρώμενος ἧσιν. *Ο* 381 οἱ δ', ὥς τε μέγα κῦμα θαλάσσης εὐρ. | νηὸς ὑπὲρ τοίχων καταβήσεται, ὁππότ' ἐπείγῃ | ἲς ἀνέμου. *Π* 52 ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει |, ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι. *Ρ* 98 ὁππότ' ἀνὴρ ἐθέλῃ πρὸς δαίμονα φωτὶ μάχεσθαι |, ὅν κε θεὸς τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίσθη. *δ* 649 τί κεν ῥέξειε καὶ ἄλλος |, ὁππότ' ἀνὴρ τοιοῦτος ἔχων μελεδήματα θυμῷ | αἰτίζῃ; *δ* 791 ὅσσα δὲ μερμήριξε λέων ἀνδρῶν ἐν ὁμ. | δείσας, ὁππότε μιν δόλιον περὶ κύκλον ἄγωσιν etc. *ρ* 520 (est comparatio) τοῦ δ' ἄμοτον μεμάασιν ἀκουέμεν, ὁππότ' ἀείδῃ. *τ* 168 ἡ γὰρ δίκη, ὁππότε πάτρης | ἧς ἀπέῃσιν ἀνὴρ τόσσον χρόνον ὅσσον ἐγὼ νῦν. *υ* 195 ἀλλὰ θεοὶ δυόωσι πολυπλάγκτους ἀνθρώπους |, ὁππότε καὶ βασιλεῦσιν ἐπικλώσωνται ὀιζύν, aliter Ameis.: dieweil sie sogar über Könige Jammer verhängen. Hinc in comparationibus: *Δ* 305 ὡς ὁπότε νέφεα Ζέφυρος στυφελίξῃ | ἀργέσταο Νότοιο . . (308) ὣς ἄρα πυκνὰ καρήαθ' ὑφ' Ἕκτορι δάμνατο λαῶν. *δ* 335 *ρ* 126 ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος | . . ἐξερέῃσι . . (340) ὣς Ὀδ. κείνοισιν ἀεικέα πότμον ἐφήσει |. h. Merc. 43 ὡς δ' ὁπότ' ὠκὺ νόημα διὰ στέρνοιο περήσῃ | ἀνέρος, ὅν τε θαμειαὶ ἐπιστρωφῶσι μέριμναι |, . . (46) ὣς ἅμ' ἔπος τε καὶ ἔργον ἐμήδετο κυδ. Ἑρμῆς. c) de rebus iteratis, quae nunc fiunt (antecedente tempore primario), wenn einmal, so oft als, *Δ* 343 πρώτω γὰρ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο |, ὁππότε δαῖτα γέρουσιν ἐφοπλίζωμεν Ἀχαιοί, q. l. iam omnes Bekkerum sequuti coniunctivum pro ἐφοπλίζομεν edunt. *Ι* 646 ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότ' ἐκείνων | μνήσομαι i. e. μνήσωμαι. *Ν* 270 ἀλλὰ μετὰ πρώτοισι μάχης ἀνὰ κυδ. | ἵσταμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο. *Τ* 200 ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι |, ὁππότε τις μεταπαυσωλὴ πολέμοιο γένηται. *ξ* 169 ἦ γὰρ θυμὸς ἐνὶ στηθ. ἐμ. | ἄχνυται, ὁππότε τις μνήσῃ κεδνοῖο ἄνακτος. Antecedit praeteritum *Ξ* 521 οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν |, ἀνδρῶν τρεσσάντων, ὁπότε Ζεὺς ἐν φόβον ὄρσῃ, q. l. vulgo ὅτε τε legitur. Optativus pro coniunctivo invenitur *ω* 343 ἔνθα δ' ἀνὰ σταφυλαὶ παντοῖαι ἔασιν |, ὁππότε δὴ Διὸς ὧραι ἐπιβρίσειαν ὕπερθεν, cf. Faesi. Coniunctivo additur κέ et ἄν: *Δ* 40 ὁππότε κεν καὶ ἐγὼ μεμαὼς πόλιν ἐξαλαπάξαι | τὴν ἐθέλω . . | μή τι διατρίβειν τὸν ἐμὸν χόλον. *Δ* 229 τῷ μάλα πόλλ' ἐπέτελλε παρισχέμεν, ὁππότε κέν μιν | γυῖα λάβῃ κάματος. *Ι* 703 τότε δ' αὖτε μαχήσεται, ὁππότε κέν μιν | θυμὸς ἐνὶ στήθεσσιν ἀνώγῃ καὶ θεὸς ὄρσῃ. *Ο* 208 ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει |, ὁππότ' ἂν ἰσόμορον καὶ ὁμῇ πεπρωμένον αἴσῃ | νεικείειν ἐθέλῃσι. *Υ* 313, cf. *Φ* 373 sqq. ἦ τοι μὲν γὰρ νῶι πολέας ὠμόσσαμεν ὅρκους | . . (315) μή ποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ |, μηδ' ὁπότ' ἂν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται etc. *α* 40 ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεται Ἀτρ. |, ὁππότ' ἂν ἡβήσῃ etc. *ζ* 303 ἀλλ' ὁπότ' ἄν σε δόμοι κεκύθωσι καὶ αὐλή |, ὦκα μάλα μεγάροιο διελθέμεν. *θ* 244 μή τίς τοι καθ' ὁδὸν δηλήσεται, ὁππότ' ἂν αὖτε | εὕδησθα γλυκὺν ὕπνον etc. *κ* 508 ἀλλ' ὁπότ' ἂν δὴ νηὶ δι' Ὠκεανοῖο περάσῃς |, . . (511) νῆα μὲν αὐτοῦ κέλσαι. *λ* 15 οὐδέ ποτ' αὐτοὺς | ἠέλιος φαέθων καταδέρκεται ἀκτίνεσσιν |, οὐδ' ὁπότ' ἂν στείχῃσι πρὸς οὐρ. ἀστ. *τ* 409 αὐτὰρ ἔγωγε |, ὁππότ' ἂν ἡβήσας μητρώιον ἐς μέγα δῶμα | ἔλθῃ Παρνησόνδ', ὅθι πού μοι κτήματ' ἔασιν |, τῶν οἱ ἐγὼ δώσω etc. *τ* 489 οὐδὲ τροφοῦ οὔσης σεῦ ἀφέξομαι, ὁππότ' ἂν ἄλλας | δμωὰς ἐν μεγ. ἐμοῖς κτείνωμαι γυναῖκας. In hymnis scribitur ὁπόταν: h. Ap. Pyth. 280 αὕτη μέν γε δίκη πέλει ἀνδρῶν ἀλφ. |, ὁππόταν ἐκ πόντοιο ποτὶ χθονὶ νηὶ μελ. | ἔλθωσιν καμάτῳ ἀδδηκότες etc. ep. 13, 6 ἤματι χειμερίῳ, ὁπότ' ἂν νίφῃσι Κρονίων. *κ* 293 ὁππότε κεν Κίρκη σ' ἐλάσῃ περιμήκεϊ ῥάβδῳ |, δὴ τότε . . Κίρκῃ ἐπαῖξαι. *ν* 83 ἀλλὰ τὸ μὲν καὶ ἀνεκτὸν ἔχει κακόν, ὁππότε κέν τις | ἤματα μὲν κλαίῃ etc. *χ* 216 ὁππότε κεν τούτους κτέωμεν, πατέρ' ἠδὲ καὶ υἱόν |, ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι etc. h. Ap. Del. 166 ἐμεῖο δὲ καὶ μετόπισθε | μνήσασθ', ὁππότε κέν τις ἐπιχθ. ἀνθρώπων | ἐνθάδ' ἀνείρηται ξεῖνος ταλ. ἐλθών. Haud raro additur δή: *Ξ* 503 οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλ. | ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ | ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχ. *Π* 61 ἦ τοι ἔφην γε | οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν, ἀλλ' ὁπότ' ἂν δὴ | νῆας ἐμὰς ἀφίκηται ἀυτή τε πτόλεμός τε. *Φ* 340 μηδὲ πρὶν ἀπόπαυε τεὸν μένος, ἀλλ' ὁπότ' ἂν δὴ | φθέγξομ' ἐγὼν ἰάχουσα, τότε σχεῖν ἀκάμ. πῦρ, q. l. φθέγξομ' est = φθέγξωμαι. *Χ* 366 κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ | Ζεὺς ἐθέλῃ τελέσαι etc. *β* 357 ἑσπέριος γὰρ ἐγὼν αἱρήσομαι, ὁππότε κεν δὴ | μήτηρ ἐς ὑπερῷ' ἀναβῇ κοίτου τε μέδηται. *γ* 236 οὐδὲ θεοί περ | καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν, ὁππότε κεν δὴ | μοῖρ' ὀλοὴ καθέλῃσι etc. *λ* 127 *ψ* 274 ὁππότε κεν δή τοι ξυμβλήμενος ἄλλος ὁδίτης | φήῃ . . . | (129) καὶ τότε δὴ . . οἴκαδ' ἀποστείχειν. *ν* 155 ὁππότε κεν δὴ πάντες ἐλαυνομένην προΐδωνται | λαοὶ ἀπὸ πτόλιος, θεῖναι λίθον ἐγγύθι γαίης etc. *ν* 393 καὶ λίην τοι ἐγώ γε παρέσσομαι, οὐδέ με λήσεις |, ὁππότε κεν δὴ ταῦτα πενώμεθα. h. Merc. 286 πολλοὺς δ' ἀγραύλους ἀκαχήσεις μηλοβοτῆρας | οὔρεος ἐν βήσσῃς, ὁπόταν κρειῶν ἐρατίζων | ἀντᾷς βουκολίοισι καὶ εἰρ. ὀίεσσιν. Sic Baum. In codd. ἀντήσεις. ὁππότε κε πρῶτον, simulatque, *λ* 105 αἴ κ' ἐθέλῃς σὸν θυμὸν ἐρυκακέειν καὶ ἑταίρων |, ὁππότε κε πρῶτον πελάσῃς εὐεργέα νῆα etc. h. Ap. Del. 70 τῷ ῥ' αἰνῶς δείδοικα κατὰ φρ. κ. κατὰ θυμ. |, μή, ὁπόταν τὸ πρῶτον ἴδῃ φάος ἠελίοιο |, . . ὤσῃ,

3) cum optativo de rebus olim iteratis antecedente tempore historico: quotiens, so oft, *Γ* 232 *πολλάκι μιν ξείνισσεν ἀρηίφιλος Μεν.* | *οἴκῳ ἐν ἡμ., ὁπότε Κρήτηθεν ἵκοιτο.* *Κ* 188 *πεδίονδε γὰρ αἰεὶ* | *τετράφαθ', ὁππότ' ἐπὶ Τρώων ἀίοιεν ἰόντων.* Faes. aliter: *ὁππ.* indirect fragend wie nach einem Verbum des Erwartens. *Ν* 710 *οἵ οἱ σάκος ἐξεδέχοντο* |, *ὁππότε μιν κάματός τε καὶ ἱδρὼς γούναθ' ἵκοιτο.* *Ο* 283 *ἀγορῇ δέ ἑ παῦροι Ἀχ.* | *νίκων, ὁππότε κοῦροι ἐρίσσειαν περὶ μύθων.* *Σ* 544 *οἱ δ' ὁπότε στρέψαντες ἱκοίατο τέλσον ἀρούρης* |, *τοῖσι δ' ἔπειτ' ἐν χερσὶ δέπας . . δόσκεν.* *Τ* 315 *ἦ ῥά νύ μοί ποτε καὶ σὺ . .* | *αὐτὸς . . λαρὸν παρὰ δεῖπνον ἔθηκας* |, *. . ὁπότε σπερχοίατ' Ἀχαιοί* |. *γ* 282 *ὃς ἐκαίνυτο φῦλ' ἀνθρώπων* | *νῆα κυβερνῆσαι, ὁπότε σπερχοίατ' ἄελλαι.* *λ* 591 *τῶν δ' ὁπότ' ἰθύσει' ὁ γέρων ἐπὶ χερσὶ μάσασθαι* |, *τὰς δ' ἄνεμος ῥίπτασκε* etc. *μ* 379 *ᾗσιν ἐγώ γε* | *χαίρεσκον μὲν ἰὼν εἰς οὐρ. ἀστερόεντα* |, *ἠδ' ὁπότ' ἂψ ἐπὶ γαῖαν ἀπ' οὐρ. προτραποίμην.* *ξ* 217 *ὁπότε κρίνοιμι λόχονδε* | *ἄνδρας ἀριστῆας . .* | *οὔ ποτέ μοι θάνατον προτιόσσετο θυμὸς ἀγ.* h. 6, 11 *οἷσί περ αὐταὶ* | *Ὧραι κοσμείσθην χρυσ., ὁππότ' ἴοιεν* | *ἐς χορόν* etc. b) antecedente optativo (assimilatione quadam), *Υ* 147 *ὄφρα τὸ κῆτος ὑπεκπροφ. ἀλέοιτο* |, *ὁππότε μὲν σεύαιτο ἀπ' ἠιόνος πεδίονδε.* *ν* 21 *μή τιν' ἑταίρων* | *βλάπτοι ἐλαυνόντων, ὁπότε σπερχοίατ' ἐρετμοῖς.* *σ* 147 *μηδ' ἀντιάσειας ἐκείνῳ* |, *ὁππότε νοστήσειε φίλ. ἐς πατρ. γαῖαν.*

ὁππόθεν (*ὀκϝόθεν*), interr. unde *α* 406 *ὁππόθεν οὗτος ἀνήρ, ποίης δ' ἐξ εὔχεται εἶναι* etc. *γ* 80 *εἴρεαι, ὁππόθεν εἰμέν.* *ξ* 47 *εἴπῃς, ὁππόθεν ἐσσὶ καὶ ὁππόσα κήδε' ἀνέτλης.* *τ* 162 *εἰπὲ τεὸν γένος, ὁππ. ἐσσί* |.

ὁππόθι (*ὀκϝόθι*), relat. ubi, *Ι* 577 *ὁππόθι πιότατον πεδίον Καλυδῶνος ἐραννῆς* |, *ἔνθα* etc. interr. *γ* 89 *οὐ γάρ τις δύναται σάφα εἰπέμεν, ὁπποθ' ὄλωλεν.*

ὁππόσε, quo, *ξ* 139 *ὁππόσ' ἐπέλθω* |, cf. *ὁπόσος*, nam h. l. *ὁππόσ'* = *ὁπόσα* intellegendum esse videtur. h. Ap. Pyth. 30 *ἠέ σ' ἐνὶ μνηστῆρσιν ἀείδω καὶ φιλότητι* |, *ὁππόσ' ἀνωόμενος ἔκιες* etc., q. l. iam legitur *ὅππως*.

ὁππότερος (*ὀκϝότερος*), uter, *Γ* 71 92 *ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται* |, *. . οἴκαδ' ἀγέσθω.* *Γ* 101 *ἡμέων δ' ὁπποτέρῳ θάνατος καὶ μοῖρα τέτυκται* |, *τεθναίη.* *Γ* 308 *Ζεὺς μέν που τό γε οἶδε καὶ ἀθ. θεοὶ ἄλλοι* |, *ὁπποτέρῳ θαν. τέλος πεπρωμένον ἐστίν.* 321 *ὁππότερος τάδε ἔργα μετ' ἀμφοτέροισιν ἔθηκεν* |, *τὸν δὸς ἀποφθίμενον δῦναι δόμον Ἄιδος εἴσω.* *Χ* 130 *εἴδομεν, ὁπποτέρῳ κεν Ὀλ. εὖχος ὀρέξῃ.* *Ψ* 805 *ὁππότερός κε φθῇσιν ὀρεξάμενος χρόα καλόν* | *. .* (807) *τῷ μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργ.* *μ* 56 *ἔνθα τοι οὐκέτ' ἔπειτα διηνεκέως ἀγορεύσω* | *ὁπποτέρη δή τοι ὁδὸς ἔσσεται.* *σ* 46 *ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται* |, *τάων ἥν κ' ἐθέλῃσιν ἀναστὰς αὐτὸς ἑλέσθω.* plur. utri: *Γ* 299 *ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν* |, *ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι* etc. *Ε* 32 *οὐκ ἂν δὴ Τρῶας μὲν ἐάσαιμεν καὶ Ἀχαιοὺς* | *μάρνασθ', ὁπποτέροισι πατὴρ Ζεὺς κῦδ. ὀρέξῃ.* *Ψ* 486 *ἴστορα δ' Ἀτρείδην Ἀγ. θείομεν ἄμφω* |, *ὁππότεραι πρόσθ' ἵπποι, ἵνα γνώῃς ἀποτίνων.*

ὁπποτέρωθεν (*ὁππότερος*), ex utra parte, *Ξ* 58 *οὔτ' ἂν ἔτι γνοίης μάλα περ σκοπιάζων* |, *ὁπποτέρωθεν Ἀχ. ὀρινόμενοι κλονέονται.*

ὅπου, ubi, in quaest. indir. *γ* 15 *ὄφρα πύθηαι* | *πατρός, ὅπου κύθε γαῖα καὶ ὅν τινα πότμον ἐπέσπεν.* *π* 306 *ἠμὲν ὅπου τις νῶι τίει καὶ δείδιε θυμῷ*, wo man, cf. Ameis., qui recte obloquitur iis, quibus *ὅ πού τις* scribendum esse videtur.

ὀπτᾰλέος (*ὀπτός*), assatus, *Δ* 345 *ἔνθα φίλ' ὀπταλέα κρέα ἔδμεναι*, cf. Athen. 1 p. 12 b. Elixis non vescebantur heroes. *μ* 395 *κρέα δ' ἀμφ' ὀβελοῖς ἐμεμύκει* |, *ὀπταλέα τε καὶ ὠμά.* *π* 49 *τοῖσι δ' αὖ κρειῶν πίνακας παρέθηκε συβ.* | *ὀπταλέων.* Cf. E. M. Eust. 481, 32.

ὀπτάω (*ὀπτός*), imperf. *ὤπτα* h. Merc. 121, *ὤπτων*, aor. *ὤπτησε* *Ι* 215, *ὤπτησαν*, *ὀπτῆσαι*, *ὀπτήσας* *ξ* 76, *ὀπτήσαντες* *υ* 352, aor. pass. *ὀπτηθῆναι* *υ* 27, asso, *Α* 466 (cf. Sch. BL.) *Β* 429 *Η* 318 *Ω* 624 (cf. Sch. A. ad h. locum) *ξ* 431 *τ* 423 *ὤπτησάν τε περιφρ. ἐρύσαντο δὲ πάντα.* *γ* 66 470 *υ* 279 *οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο.* *Ι* 215 *αὐτὰρ ἐπεί ῥ' ὤπτησε καὶ εἰν ἐλεοῖσιν ἔχευεν.* *γ* 33 *δαῖτ' ἐντυνόμενοι κρέα ὤπτων.* *γ* 463 *ὤπτων δ' ἀκροπόρους ὀβελοὺς ἐν χερσὶν ἔχοντες.* *ξ* 76 *ὀπτήσας δ' ἄρα πάντα φέρων παρέθηκ' Ὀδυσῆι.* *ο* 323 *δαιτρεῦσαί τε καὶ ὀπτῆσαι καὶ οἰνοχοῆσαι.* *υ* 27 *μάλα δ' ὦκα λιλαίεται ὀπτηθῆναι* |, sc. *γαστέρα.* *υ* 252 *σπλάγχνα δ' ἄρ' ὀπτήσαντες ἐνώμων.* h. Merc. 121 *ὤπτα δ' ἀμφ' ὀβελ. πεπαρμένα δουρ.* Cum genetivo partitivo legitur *ο* 98 *ὀπτῆσαί τε κρεῶν.*

ὀπτήρ (a rad. *ὀπ*, cf. Curt. Et. p. 456), speculator, *ξ* 261 *ρ* 430 *ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνε νέεσθαι*, Sch. *κατασκόπους.* Eust. 348, 41. 736, 17.

ὀπτός (a rad. *ὀπ* = *πεπ*, lat. popina, cf. Curt. Et. p. 459. 699), assus, legitur tantummodo in Odyss.: *δ* 66 (*νῶτα βοὸς*) *ὀπτ' ἐν χερσὶν ἑλών.* *π* 443 *κρέας ὀπτὸν* | *ἐν χείρ. ἔθηκεν.* *χ* 21 *σῖτός τε κρέα τ' ὀπτὰ φορύνετο.*

ὀπυίω (vocabulum cum lat. pubes cohaerens, secundum Lobeck. autem Rhem. 41 cum *ὀπή*, sec. Christ. 227 cum sanscr. vapâmi), *ὀπυίῃ* *ο* 21, *ὀπυίοι*, *ὀπυιέμεν*, *ὀπυιέμεναι* *Ξ* 268, *ὀπυίοντες* *ζ* 63, imperf. *ὤπυιε*, *ὄπυιε*, pass. *ὀπυιομένη* *Θ* 304, uxorem duco, eheliche, cum accus., *Ν* 378 *δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίστην* | *Ἄργεος ἐξαγαγόντες ὀπυιέμεν.* *Ν* 429 *πρεσβυτάτην δ' ὤπυιε θυγατρῶν.* *Ξ* 267 *ἐγὼ δέ κέ τοι Χαρίτων μίαν ὁπλοτ.* | *δώσω ὀπυιέμεναι.* Cf. Schol. V. *Σ* 383 *τὴν ὤπυιε περικλ. Ἀμφιγυήεις* |. *β* 207 *ἃς ἐπιεικὲς ὀπυιέμεν ἐστὶν ἑκάστῳ* |. *β* 336 *π* 386 *ὅς τις ὀπυίοι* sc. *μητέρα τούτου.* *δ* 798 *τὴν Εὔμηλος ὄπυιε.* *ο* 21 *κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίῃ*, sc. *αὐτήν*; coniunctivum iam omnes scribunt pro *ὀπυίοι*. *Π* 178 *ὅς ῥ' ἀναφανδὸν ὄπυιε, πορὼν ἀπερείσι' ἔεδνα.* Sch. D. *ὄπυιε, κατὰ νόμον συνῴκει, ἐγεγαμήκει.* *ζ* 63 *οἱ δύ' ὀπυίοντες, τρεῖς δ' ἠίθεοι θαλέθοντες*, verehligte, cf. Nitzsch. *Θ* 304 *τόν ῥ' ἐξ Αἰσύμηθεν ὀπυιομένη τέκε μήτηρ*, E. M. *ὀπυιομένη. μεμνηστευμένη, γεγαμημένη*, nupta. Ap. lex. 122, 9 *ὁ μὲν Ἀπίων ὁμιλεῖν. οὐκ ἔστι δέ, ἀλλὰ τὸ κατὰ νόμους γυναῖκα συνοικεῖν ἀνδρί.* Eust. 714, 49. 938, 40. 1053, 28. 1384, 60. 1441, 64.

ὀπωπή (*ὄπωπα*, Doed. Gl. § 836), visus, Sehkraft, *ι* 512 *χειρῶν ἐξ Ὀδυσῆος ἁμαρτήσεσθαι ὀπωπῆς*, Sch. *στερηθῆναι ὄψεως.* 2) aspectus, *γ* 97 *ἀλλ' εὖ μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς*, q. l. Schol. BE. Vulg. *ὀπωπῆς* ab *ὄψ* vox esse derivandum opinantur, cf. Nitzsch. Idem *δ* 327 *ρ* 44 legitur. h. Cer. 157 *τάων οὐκ ἂν*

τίς σε κατὰ πρώτιστον ὀπωπὴν | εἶδος ἀτιμήσασα δόμων ἀπονοσφίσσειεν, prima specie. Voss. Ignarrae coniecturam κατὰ πρώτιστον ὀπωπῆς εἶδος recepit, cf. Franke ad l. Ap. lex. 122, 12 ὀπωπή. ἐντροπὴ ἢ πρόσοψις. E. M. Eust. 1430, 19. 1458, 45.

ὀπωπητήρ = ὀπτήρ h. Merc. 15 νυκτὸς ὀπωπητῆρα, noctis speculatorem.

ὀπώρη (ὀπ, quod videtur cohaerere cum ὀπίσω, ὥρα, cf. Curt. Et. p. 357. Savelsberg. ap. Kuhn. 10, 416 radicem ὀπ = πεπ subesse putat ita ut sit: Kochzeit, cf. Christ. 236. Hartung. Rel. d. Gr. 2, 162), extrema pars aestatis, Hochsommer, cf. Ideler Handb. d. math. Chron. 1, 244 sqq., Χ 27 (ἀστήρ) ὅς ῥά τ' ὀπώρης εἶσιν, Sch. D. κατὰ τὸ φθινόπωρον. λ 192 αὐτὰρ ἐπὴν ἔλθῃσι θέρος τεθαλυῖά τ' ὀπώρη. μ 76 οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρῃ |. ξ 384 ἢ ἐς θέρος ἢ ἐς ὀπώρην. Ap. lex. 45, 17 ὀπώρα δὲ καλεῖται ὁ μεταξὺ θέρους καὶ φθινοπώρου καιρός. E. Gud. Hes. Eust. 514, 23. 619, 43. 1065, 60. 1255, 2. 1677, 6. 1714, 7. 1764, 62.

ὀπωρινός (ὀπώρη), auctumnalis, proprie: hochsommerlich, Ε 5 ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον, q. l. nonnulli antiquorum criticorum ἀστέρι ὀπ. legisse videntur, cf. Drac. de metr. 41, 12. Hesych. 1, 582. Eust. 514, 19. Ap. lex. 45, 17 ἀστέρ' ὀπ. τῷ κυνὶ λέγει, τῷ κατὰ τὴν ὀπώραν φαινομένῳ. Sch. B. Arcturum intellegit. Cf. Schol. D. Π 385 ἤματ' ὀπωρινῷ, cf. Schol. V. Φ 346 ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης νεοαρδέ' ἀλωὴν | αἶψ' ἀνξηράνῃ, cf. Schol. V. et B. ε 238 ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης φορέῃσιν ἀκάνθας | ἂμ πεδίον, cf. Nitzsch., Faes. Eust. 1240, 11. 1539, 8. de etesiis cogitat. h. Merc. 147 αὔρῃ ὀπωρινῇ ἐναλίγκιος. Penultima ubique producitur, cf. Both. ad Ε 5.

ὅπως et **ὅππως** (ὅκϝως) I) ut, quomodo, relat. et in quaestionibus indir., sequente ὡς ο 111 ἤτοι νόστον ὅπως φρεσὶ σῇσι μενοινᾷς | ὥς τοι Ζεὺς τελέσειεν. Antecedente τοῖος π 208 ἥ τέ μοι τοῖον ἔθηκεν ὅπως ἐθέλει = τοῖον οἷον. Coniungitur a) cum indic., si de factis agitur, antecedente aut temporis primarii indicativo aut imperativo, Δ 37 ν 145 π 67 ω 481 ἔρξον ὅπως ἐθέλεις, cf. Ameis. ad ν 145. φ 198 εἴπαθ', ὅπως ὑμέας κραδίη θυμός τε κελεύει. Antecedente optativo ξ 171 αὐτὰρ Ὀδ. | ἔλθοι, ὅπως μιν ἐγώ γ' ἐθέλω etc. De rebus praeteritis Κ 545 (εἴπ' ἄγε) ὅππως τούσδ' ἵππους λάβετον. Π 112 ἔσπετε νῦν μοι Μοῦσαι . . | ὅππως δὴ πρῶτον πῦρ ἔμπεσε νηυσὶν Ἀχ. γ 97 δ 327 ρ 44 ἀλλ' εὖ μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς. ψ 35 εἰ δ' ἄγε μοι . . νημερτὲς ἐνίσπες |, . . (37) ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφῆκεν. De rebus fut. Β 252 ρ 78 οὐδέ τί πω σάφα ἴδμεν, ὅπως ἔσται τάδε ἔργα, Δ 14 Ξ 3 61 Υ 116 ρ 274 φραζώμεθ' (φράζεο, φράζεσθον) ὅπως ἔσται τάδε ἔργα |. Ι 251 φράζευ ὅπως Δαναοῖσιν ἀλεξήσεις κακὸν ἦμαρ. ν 376 φράζευ ὅπως μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσεις. τ 557 πέφραδ' ὅπως τελέει. Nonnunquam accedit κέ: Ρ 144 φράζεο νῦν, ὅππως κε πόλιν καὶ ἄστυ σαώσεις. α 269 σὲ δὲ φράζεσθαι ἄνωγα | ὅππως κε μνηστῆρας ἀπώσεαι ἐκ μεγ. Cf. Krüg. Dial. 53, 7, 4. b) Cum coniunctivo antecedente temp. prim. aut imperativo, si de re agitur, quae verisimilis videtur, Γ 109 ἅμα πρόσσω καὶ ὀπίσσω | λεύσσει, ὅπως ὄχ' ἄριστα μετ' ἀμφοτέροισι γένηται. Ι 680 αὐτόν σε φράζεσθαι ἐν Ἀργ. ἄνωγεν | ὅππως κεν νῆάς τε σόῃς καὶ λαὸν Ἀχ., q. l. iam Aristarchum sequuti Bekker., Faes., Koch., La Roche σόως scribunt. Ρ 634 712 ἀλλ' ἄγετ', αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην |, ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν (i. e. ἐρύσσωμεν) ἠδὲ καὶ αὐτοὶ | χάρμα φίλ. ἑταρ. γενώμεθα (Τρώων ἐξ ἐνοπῆς θάνατον καὶ κῆρα φύγωμεν). Ψ 323 οὐδέ ἑ λήθει |, ὅππως τὸ πρῶτον τανύσῃ βοέοισιν ἱμᾶσιν, neque eum latet, quomodo seu qua lege primum extendat equos. ν 365 αὐτοὶ δὲ φραζώμεθ' ὅπως ὄχ' ἄριστα γένηται, Am.: Conjunctiv im Sinne des Futuri. ν 386 ἀλλ' ἄγε μῆτιν ὕφηνον, ὅπως ἀποτίσομαι αὐτούς. υ 38 ἀλλά τί μοι τόδε θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει |, ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσω, quem coniunctivum deliberativum esse docet Ameis. ψ 117 ἡμεῖς δὲ φραζώμεθ', ὅπως ὄχ' ἄριστα γένηται. Et huic coniunctivo additur κέ, cf. supra a), α 294 φράζεσθαι (pro imperativo) κ. φρ. καὶ κ. θυμόν |, ὅππως κε μνηστῆρας ἐνὶ μεγ. τεοῖσιν | κτείνῃς. δ 545 πεῖρα, ὅπως κεν δὴ σὴν πατρίδα γαῖαν ἵκηαι, cf. Krüger Dial. 54, 8, 4. Antecedit aor., cui inest praesentis vis, Κ 224 σύν τε δύ' ἐρχομένω καί τε πρὸ ὁ τοῦ ἐνόησεν |, ὅππως κέρδος ἔῃ. Significat: prout, wie nur, wie immer, Υ 242 Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε |, ὅππως κεν ἐθέλῃσιν. Omisso κέ α 348 ὅς τε δίδωσιν | ἀνδράσιν ἀλφ., ὅπως ἐθέλῃσιν, ἑκάστῳ. ζ 188 Ζεὺς δ' αὐτὸς νέμει ὄλβον. . | ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν, ἑκάστῳ. c) cum optat. antecedente temp. historico Κ 491 (ἐξερύσασκε) τὰ φρονέων κατὰ θυμόν, ὅπως καλλίτριχες ἵπποι | ῥεῖα διέλθοιεν. Ξ 159 μερμήριξε δ' ἔπειτα βοῶπις πότνια Ἥρη |, ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγ. Φ 137 ὥρμηνεν δ' ἀνὰ θυμόν, ὅπως παύσειε πόνοιο | δῖον Ἀχιλλῆα. Ω 679 ἀλλ' οὐχ Ἑρμείαν ἐρ. ὕπνος ἔμαρπτεν |, ὁρμαίνοντ' ἀνὰ θυμόν, ὅπως Πρίαμον βασ. | νηῶν ἐκπέμψειε. γ 129 φραζόμεθ' Ἀργείοισιν ὅπως ὄχ' ἄριστα γένοιτο. δ 202 Νεστορίδης δὲ ἐῷ συμφράσσατο θυμῷ |, ὅππως οἱ κατὰ μοῖραν ὑποσχόμενος τελέσειεν. ι 420 λ 229 αὐτὰρ ἐγὼ βούλευον ὅπως ἐρέοιμι ἑκάστην. ι 554 ἀλλ' ὅ γε μερμήριζεν, ὅπως ἀπολοίατο πᾶσαι | νῆες etc. λ 479 εἴ τινα βουλὴν | εἴποι, ὅπως Ἰθάκην ἐς παιπ. ἱκοίμην. ο 169 μερμήριξε δ' ἀρ. Μενέλαος |, ὅππως οἱ κατὰ μοῖραν ὑποκρίναιτο νοήσας. τ 296 ὄφρα . . Διὸς βουλὴν ἐπακούσαι |, ὅππως νοστήσειε φίλ. ἐς πατρ. γαῖαν. υ 28 ἔνθα καὶ ἔνθα ἑλίσσετο μερμηρίζων |, ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει, quam esse optativi formam pro ἐφήσειε docet Ameis. Antecedente temp. prim. Α 343 οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπ. |, ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο Ἀχαιοί. μαχέοιντο cod. Ven. Schol. B. paraphr. Bekk. Secundum Schol. A. etiam Nicanoris erat lectio. Barnes., Bentl., Hoffmann. Qu. H. 1, 92, Ameis. μαχεοίατ' scribi iubent. Thiersch. Gr. § 347 1 a, quem Nägelsb. sequitur, μαχέονται. Cf. Autenr. II) Ut german. ‚wie' ὅπως etiam temporalis est coniunctio: Δ 459 Τρῶες δὲ μεγαθ. ὅπως ἴδον αἷμ' Ὀδυσῆος |, . . ἔβησαν. Μ 208 Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν etc. γ 373 θαύμαζεν δ' ὁ γεραιός, ὅπως ἴδεν ὀφθ., q. l. ἐπεί pro ὅπως Eustath. scripsit, quem sequitur Ameis. χ 21 τοὶ δ' ὁμάδησαν | μνηστῆρες κατὰ δώμαθ', ὅπως ἴδον ἄνδρα πεσόντα. Cum optat. Σ 470 φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων | . . (472) ἄλλοτε μὲν

σπεύδοντι παρέμμεναι, ἄλλοτε δ' αὖτε |, ὅπως Ἥφαιστός τ' ἐθέλοι καὶ ἔργον ἄνοιτο, Faesi: wie das Werk vollendet, gefördert wurde. 2) Causalis inesse notio videtur δ 108 ἐμοὶ δ' ἄχος αἰὲν ἄλαστον | κείνου, ὅπως δὴ δηρὸν ἀποίχεται, cf. Ameis. 3) Finalis coniunctio: ut, a) cum coniunctivo antecedente tempore primario α 76 ἀλλ' ἄγεθ', ἡμεῖς οἵδε περιφραζώμεθα πάντες | νόστον, ὅπως ἔλθῃσι. Cf. Ameis. γ 19 λίσσεσθαι δέ μιν αὐτόν, ὅπως νημερτέα εἴπῃ. ξ 181 οἴκαδ' ἰόντα λοχῶσιν, ὅπως ἀπὸ φῦλον ὄληται | νώνυμον ἐξ Ἰθ. etc. b) Cum optativo antecedente temp. histor. Φ 547 πὰρ δέ οἱ αὐτὸς | ἔστη, ὅπως θανάτοιο βαρ. κῆρας ἀλάλκοι. θ 344 λίσσεται δ' αἰεὶ | Ἥφαιστον κλυτ. ὅπως λύσειεν Ἄρηα. ν 318 οὐδὲ νόησα | νηὸς ἐμῆς ἐπιβᾶσαν, ὅπως τί μοι ἄλγος ἀλάλκοις. ξ 310 αὐτὰρ ἐμοὶ Ζεὺς αὐτὸς . . | ἱστὸν . . | ἐν χειρ. ἔθηκεν, ὅπως ἔτι πῆμα φύγοιμι. σ 158 τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλ. Ἀθήνη | . . (160) μνηστήρεσσι φανῆναι, ὅπως πετάσειε μάλιστα | θυμὸν μνηστήρων. χ 471 ἀμφὶ δὲ πάσαις | δειρῇσιν βρόχοι ἦσαν, ὅπως οἴκτιστα θάνοιεν. Quamquam et hic qualitatis notio haud prorsus abest, cf. ζ 319 ἡ δὲ μάλ' ἡνιόχευεν, ὅπως ἅμ' ἑποίατο πεζοὶ | ἀμφίπολοί τ' Ὀδυσεύς τε. Hinc fit, ut etiam coniunctioni finali ὅπως indic. fut. addatur: Α 135 ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγαθ. Ἀχ. | ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται. α 56 αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμ. λόγοισι | θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται. In hymnis ὅπως non legitur. — Cf. Eust. 79, 31. 38. 1540, 61.

ὁράω (a rad. ὀρ, ϝορ, Curt. Et. p. 96. 98. 99. 103. 349), praes. ὁρῶ Γ 234, ὁρόω, ὁρᾷς Δ 202, ὁράᾳς, ὁρᾷ, opt. ὁρόῳτε Δ 347, imperat. ὅρα h. 7, 26, inf. ὁρᾶν, part. ὁρῶν Ε 872, ὁρόων, ὁρῶσα θ 459, ὁρόωσα τ 514 h. Ven. 72, ὁρῶντες Υ 28, ὁρόωντες, ὁρῶντας h. 28, 6, imperf. ὅρα, ὁρῶμεν κ 99, med. ὁρῶμαι, ὁρᾶται Ω 291, coni. ὅρηαι ζ 344, opt. ὁρῷτο, ὁρῴατο ep. 14, 20, inf. ὁρᾶσθαι, ὁράασθαι, part. ὁρώμενος, ὁρώμενοι, imperf. ὁρᾶτο, ὁρῶντο. Fut., perf., plusquampf. a rad. ὀπ (Curt. Et. p. 423. Christ. 230), fut. ὄψεαι, ὄψει, ὄψεται, ὄψεσθ' θ 313, ὄψεσθε Ω 704 (ὄψεσθε nonnulli imperativum aoristi esse censent), inf. ὄψεσθαι, ὄψεσθ' ν 357, part. ὀψόμενος ψ 360, ὀψομένη, ὀψόμεναι Σ 141, perf. ὄπωπα, ὄπωπας, ὄπωπεν h. Cer. 480, plusq. ὀπώπει, video, specto, a) intrans. cum praeposs. εἴς τι, εἴς τινα, Κ 239 ἐς γενεὴν ὁρόων. Ω 633 μ 373 ἐς ἀλλήλους ὁρόωντες |. τ 514 ἔς τ' ἐμὰ ἔργ' ὁρόωσα etc. Cum praep. ἐπί: Α 350 ὁρόων ἐπὶ οἴνοπα πόντον |. Cum κατά: Π 646 ἀλλὰ κατ' αὐτοὺς αἰὲν ὅρα (Iuppiter). Praeterea Γ 325 πάλλεν . . ἂψ ὁρόων. Sch. D. εἰς τουπίσω βλέπων ἵνα μὴ ἀντιπανουργεῖν δόξῃ. Ρ 637 δεῦρ' ὁρόωντες, huc respicientes, ψ 91 κάτω ὁρόων. Σ 250 ω 452 ὁ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω |, cf. ὀπίσω et Schol. ad Σ 250. b) trans. cum accus. video, aspicio: Γ 234 νῦν δ' ἄλλους μὲν πάντας ὁρῶ ἑλ. Ἀχαιούς. Ζ 124 οὐ μὲν γάρ ποτ' ὄπωπα, sc. σέ. Λ 651 ὁρόω δὲ Μαχάονα. Ξ 205 304 τοὺς εἶμ' ὀψομένη. Ξ 342 μήτε θεῶν τό γε δείδιθι μήτε τιν' ἀνδρῶν | ὄψεσθαι. Ο 251 καὶ δὴ ἐγώ γ' ἐφάμην νέκυας καὶ δῶμ' Ἀίδαο | ἤματι τῷδ' ὄψεσθαι. Σ 141 ὀψόμεναί τε γέρονθ' ἅλιον καὶ δώματα πατρός. Υ 28 μιν . . ὁρῶντες |. Ω 355 ἄνδρ' ὁρόω. Ω 492 ὄψεσθαι φίλον υἱόν. 601 ὄψεαι αὐτὸς sc. υἱόν. 704 ὄψεσθε . . Ἕκτορα. α 301 γ 199 μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε |. η 145 θαύμαζον δ' ὁρόωντες, sc. δόμον κάτα φῶτα (144). λ 141 μητρὸς τήνδ' ὁρόω ψυχήν. λ 450 ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθών. ν 356 π 24 ρ 42 οὔ ποτ' ἐγώ γε | ὄψεσθ' ὔμμ' ἐφάμην. ο 515 οὐδέ σε μήτηρ | ὄψεται. ρ 6 ὄφρα με μήτηρ | ὄψεται. ρ 371 ἦ γάρ μιν πρόσθεν ὄπωπα |. φ 94 ἐγὼ δέ μιν αὐτὸς ὄπωπα |. φ 123 πάρος δ' οὔ πώ ποτ' ὀπώπει | sc. αὐτόν. ψ 360 ὀψόμενος πατέρ' ἐσθλόν. h. Merc. 276 μήτε τιν' ἄλλον ὄπωπα βοῶν κλοπὸν ὑμ. h. Merc. 310 οὐδ' ἄλλον ὄπωπα |. 338 οἷος ἐγώ γε θεῶν οὐκ ἄλλον ὄπωπα |. h. Cer. 35 ἔτι δ' ἔλπετο μητέρα κεδνὴν | ὄψεσθαι καὶ φῦλα θεῶν. h. Cer. 71 εἴ πω ὄπωπας | sc. τέκος. h. Ven. 84 ὁρόων, sc. αὐτήν. h. Ven. 279 ὁρόων, sc. τόν. h. Cer. 111 χαλεποὶ δὲ θεοὶ θνητοῖσιν ὁρᾶσθαι |. ep. 13, 4 (βασιλῆες) κόσμος τ' ἄλλοισιν ὁρᾶσθαι |. ὁρῶ τι: Β 799 ἀλλ' οὔ πω τοιόνδε τοσόνδε τε λαὸν ὄπωπα |. Ε 872 ὁρῶν τάδε καρτερὰ ἔργα. Ξ 200 301 εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης |, Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν, cf. Schol. V. ad. Ξ 200. Ο 360 ᾗ δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε' ἄριστα. Υ 481 πρόσθ' ὁρόων θάνατον. Ψ 323 τέρμ' ὁρόων. α 299 αἴσχεα πόλλ' ὁρόων. θ 314 ἐγὼ δ' ὁρόων ἀκάχημαι, sc. αὐτό. ι 295 σχέτλια ἔργ' ὁρόωντες. μ 101 τὸν δ' ἕτερον σκόπελον χθαμαλώτερον ὄψει. ψ 226 εὐνῆς ἡμ., ἣν οὐ βροτὸς ἄλλος ὀπώπει |. h. Merc. 181 σὺ δ' ὄψεαι. h. Ven. 72 ἡ δ' ὁρόωσα. h. Cer. 480 ὃς τάδ' ὄπωπεν. h. 7, 26 οὖρον ὅρα. h. 28, 6 σέβας δ' ἔχε πάντας ὁρῶντας |. ep. 14, 20 ὁρῴατο ἔργα πονηρά |. ep. 14, 21 ὁρόων αὐτῶν κακοδαίμονα τέχνην |. Additur ὀφθαλμοῖσι, cf. Eust. 1793, 29, Ω 391 τὸν μὴν ἐγὼ μάλα πολλὰ μάχῃ ἔνι κυδ. | ὀφθ. ὄπωπα. γ 93 δ 323 εἴ που ὄπωπας | ὀφθ. τεοῖσι sc. αὐτόν. ἐν ὀφθαλμοῖσιν, cf. Ameis. ad θ 459 suppl. Nägelsb. ad Α 587: θ 459 θαύμαζεν δ' Ὀδυσῆα ἐν ὀφθ. ὁρῶσα. ὁρᾶν φάος ἠελίοιο idem est quod vivere: Σ 61 442 δ 833 ξ 44 υ 207 ζώει καὶ ὁρᾷ φάος ἠελ. | Ω 557 δ 541 κ 498 h. Ven. 105 ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελ. Cf. Ε 120 δηρὸν ἔτ' ὄψεσθαι λαμπρὸν φάος ἠελ. Additur ὅτι Η 448 οὐχ ὁράᾳς ὅτι δὴ αὖτε κάρη κομ. Ἀχαιοὶ | τεῖχος ἐτειχίσσαντο; ρ 545 οὐχ ὁράᾳς ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσιν; Δ 347 νῦν δὲ φίλως χ' ὁρόῳτε καὶ εἰ δέκα πύργοι Ἀχ. | ὑμείων προπάροιθε μαχοίατο etc. Cum participio coniungitur his locis: Δ 353 ὄψεαι . . | Τηλεμάχοιο φίλ. πατέρα προμάχοισι μιγέντα etc. Ε 244 ἄνδρ' ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι. Θ 470 ὄψεαι . . | ὀλλύντ' Ἀργείων πουλὸν στρατὸν αἰχμ. Ι 359 ὄψεαι . . | ἦρι μάλ' Ἑλλήσποντον ἐπ' ἰχθ. πλεούσας | νῆας ἐμάς. Λ 187 203 ὁρᾷ (ὁρᾷς) Ἀγαμέμνονα . . | θύνοντ' ἐν προμ. ἐναίροντα στίχας ἀνδρῶν. Ψ 386 οὕνεκα τὰς μὲν ὅρα ἔτι καὶ πολὺ μᾶλλον ἰούσας. κ 99 καπνὸν δ' οἶον ὁρῶμεν ἀπὸ χθονὸς ἀίσσοντα. σ 143 οἷ' ὁρόω μνηστῆρας ἀτάσθαλα μηχανόωντας ω 511 ὄψεαι . . | οὔ τι καταισχύνοντα τεὸν γένος. h. Merc. 199 εἴ που ὄπωπας | ἀνέρα ταῖσδ' ἐπὶ βουσὶ διαπρήσσοντα κέλευθον. Sequitur enunciatum relativum: Ο 555 οὐχ ὁράᾳς, οἷον Δόλοπος περὶ τεύχε' ἕπουσιν; Φ 108 οὐχ ὁράᾳς, οἷος κἀγὼ καλός τε μέγας τε; θ 313 ἀλλ' ὄψεσθ' ἵνα τώ γε καθεύδετον ἐν φιλότητι. II) Medium ὁρῶμαι plerumque

videtur esse: spectare cum affectione animi, cf. Doed. Gl. § 2279 et ad Χ 166. Autenr. ad Α 56, quamquam haud raro dicitur metri respectu, specto, aspicio, τινά, Α 198 τῶν δ' ἄλλων οὔ τις ὁρᾶτο |, sc. αὐτόν. σ 4 εἶδος δὲ μάλα μέγας ἦν ὁράασθαι |. Cum ἐς praepos. ε 439 ἐς γαῖαν ὁρώμενος. σ 219 ἐς μέγεθος καὶ κάλλος ὁρώμενος. σ 344 ἐς πάντας ὁρώμενος. Cum κατά: Ω 291 (Iupp.) ὅς τε Τροίην κατὰ πᾶσαν ὁρᾶται |. De rebus: λ 156 χαλεπὸν δὲ τάδε ζωοῖσιν ὁρᾶσθαι |. π 107 υ 317 ἤ τάδε γ' αἰὲν ἀεικέα ἔργ' ὁράασθαι |. Cum participio: Α 56 ὅτι ῥα θνήσκοντας ὁρᾶτο |, weil sie mit ansehen musste. Γ 306 ἐν ὀφθαλμοῖσιν ὁρᾶσθαι | μαρνάμενον φίλον υἱὸν ἀρ. Μενέλαον. Cf. schol. A. Τ 132 ὅθ' ἑὸν φίλον υἱὸν ὁρῷτο | ἔργον ἀεικὲς ἔχοντα etc. Υ 45 ὅθ' ὁρῶντο ποδ. Πηλείωνα | τεύχεσι λαμπόμενον βροτολοιγῷ ἶσον Ἄρηι. Φ 390 γηθοσύνῃ, ὅθ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας |. Χ 168 ἢ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος | ὀφθαλμοῖσιν ὁρῶμαι. Accedit ὀφθαλμοῖσιν, ἐν ὀφθαλμοῖσιν: Ν 99 Ο 286 Υ 344 Φ 54 τ 36 h. Merc. 219 ἦ μέγα θαῦμα τόδ' ὀφθ. ὁρῶμαι |. δ 47 τάρπησαν ὁρώμενοι ὀφθ. | Cf. Schol. BE. δ 226 ὁ δ' ὀφθ. ὁρῷτο, sc. αὐτό. κ 181 αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθ. ξ 343 τὰ καὶ αὐτὸς ἐν ὀφθ. ὅρηαι |. ο 462 τὸν (ὅρμον) . . | χερσίν τ' ἀμφαφόωντο καὶ ὀφθ. ὁρῶντο. Cf. Γ 306 Χ 168. Absol. Χ 166 θεοὶ δέ τε πάντες ὁρῶντο |, schauten zu. h. Merc. 279 ὁρώμενοι ἔνθα καὶ ἔνθα |. Cf. Eust. 1481, 46.

ὀργή (cf. ὀργάω, sanscr. ûrgâ, Curt. Et. p. 184 sq.), proprie libido, Gemüthsbewegung, = θυμός, mores, h. Cer. 205 ἣ δή οἱ καὶ ἔπειτα μεθύστερον εὔαδεν ὀργαῖς, cf. Voss, qui edidit εὔαδ' ἑορταῖς. Eust. 8, 24. 36.

ὄργια (a rad. ϝεργ, ἔργον, Curt. Et. p. 180. Lob. Agl. 305. Doed. Gl. § 570. Errat Voss. ad h. Cer. 273, qui voc. ab ὀργή derivat), plur. tantum, sacrificia, mysteria, sacri ritus, h. Cer. 273 ὄργια δ' αὐτὴ ἐγὼν ὑποθήσομαι. 476 καὶ ἐπέφραδεν ὄργια πᾶσιν |. Cf. Suid. Hesych. E. M.

ὀργίζομαι (ὀργή), irascor, h. Cer. 344 ἣ δ' ἔτ' ἄτλητον | ὀργισθεῖσα θεῶν μακ. μηνίετο βουλῇ, q. l. ὀργισθεῖσα Ignarrae debetur, cf. Voss.

ὀργίων (ὄργια), sacrorum minister, Priester, h. Ap. Pyth. 211 οὕστινας ἀνθρώπους ὀργίονας εἰσαγάγοιτο.

ὄργυιά (ab ὀρεγ, Curt. Et. p. 184, proprie ὀρέγυια: Lob. El. 1, 301. Doed. Gl. § 904), spatium quod extensis ad dextram et sinistram manibus metiri possumus, sex pedum mensura, Klafter, Ψ 327 ἕστηκε ξύλον αὖον ὅσον τ' ὄργυι' ὑπὲρ αἴης, Schol. D. ἡ τῶν δύο χειρῶν εἰς πλάτος ἔκτασις. ι 325 τοῦ μὲν ὅσον τ' ὄργυιαν ἐγὼν ἀπέκοψα παραστάς, cf. Schol. Q. Vulg. κ 167 πεῖσμα δ' ὅσον τ' ὄργυιαν ἐυστρεφὲς ἀμφοτέρωθεν. Atticorum est ὀργυιά (ᾱ). Cf. Eust. 1384, 9. E. M. E. Gud. Hesych. Eust. 519, 9 ἡ εἰς πλάτος ἔκτασις ἀμφοῖν ταῖν χεροῖν.

